παντὸς ἑτέρου δουλίαν τοῦ κοινοῦ μεταχειριζομένων, τοῦ μηδένα τῶν ἁπάντων, ἐν οἱῳδήποτε χρόνῳ, καθ' οἱονδήτινα τρόπον ἀθετεῖν ἢ ἀνατρέπειν τῶν ἐνταῦθα παρὰ τῆς βασιλείας μου διωρισμένων, ἄχρι καὶ ψιλῆς ἐπιχειρήσεως, ἢ προσθήκην δημόσιον, ἢ αὔξησιν ἢ ὄρθωσιν ἐπάγειν τοῖς δηλωθεῖσι κτήμασι, κατά τινα τρόπον ἢ ἀφορμὴν τὸ σύνολον, ἢ χάριν ὑπερτίμων ἐνοχλεῖν καὶ διασείειν αὐτά, ὡς βεβαίου καὶ ἀσφαλοῦς τυγχάνοντος τοῦ παρόντος ἡμῶν εὐσεβοῦς χρυσοβούλλου σιγιλλίου, γεγενημένου κατὰ τὸν ἀπρίλλιον μῆνα τῆς δευτέρας ἰνδικτιῶνος, ἐν ἔτει τῷ ϛφπζ', ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Τὰ μέντοι μέλλοντα ἐξκουσσεύεσθαι εἰσὶ ταῦτα.

Ὁ ἐν Ραιδεστῷ οἶκος· τὰ ἐνοικικά, ἤγουν αὐλὴ τοῦ Μεταξᾶ, σὺν (τοῖς) τῶν οἰκημάτων τοῦ Κεντάρχου, τοῦ Ἀρκολύκη· σὺν τοῖς τῆς ἀνταλλαγῆς τοῦ Ποιητοῦ τοῦ Καμαρωτῆ· τὰ τοῦ Αἰγιαλοῦ καὶ λοιπά· προσέτι τοῦ Σελοκάκα σὺν τῷ μικρῷ χώρῳ καὶ τοῦ Βανδοφόρου· προσέτι τὰ Βαβούλη, ἤτοι τοῦ Λιβός· προσέτι τὸ μονοκέλλιον· προσέτι τοῦ Κούκου· προσέτι τοῦ Συμεωνίου· προσέτι αἱ Τζαχνίσται· προσέτι ἡ ἁγία Ἑλένη, ἤτε ἡ ἄνω Σιλιοὺ κώμη, σὺν τοῖς Θλαμίοις· προσέτι ἡ Λεύκη τῶν Ἀρμενίων· προσέτι τὰ Φλετρὰ σὺν τῷ ἁγιάσματι· τὰ ἐν τῇ Σηλυβρίᾳ οἰκήματα σὺν τῇ...... προσέτι καὶ τὰ ἐν τῷ Μεσοκώμῳ προάστεια.

---

(Μεταγενέστεραι ἐν τῷ κώδηκι προσθῆκαι).

Ἐδόθη, ἤτοι ἀφιερώθη παρὰ τοῦ τιμιωτάτου καθηγουμένου τῷ Πανοικτίρμονι βιβλία ταῦτα· οἱ τέσσαρες Εὐαγγελισταὶ ἑρμηνευμένοι τὴν ἑρμηνείαν τοῦ Βουλγαρίας.... βιβλία τέσσαρα βαμβύκινα· ἕτερον βιβλίον βαμβύκινον ἔχον ἐξ ἀρχῆς τὴν ἑρμηνείαν τοῦ ρητοῦ Χρυσοστόμου τοῦ, οὐ θέλομεν